# ΣΩΤΑΔΗΣ ὁ ΜΑΡΩΝΙΤΗΣ

Ἀθηναίου·
Δειπνοσοφισταί.
Ἐκ τοῦ Δ.
Σελὶς 620-621

Καὶ οἱ καλούμενοι δὲ ἱλαρῳδοί, οὓς νῦν τινὲς σιμῳδοὺς καλοῦσιν, ὡς Ἀριστοκλῆς φησὶν ἐν πρώτῳ περὶ χορῶν, τῷ τὸν Μάγνητα Σῖμον διαπρέψαι μᾶλλον τῶν διὰ τοῦ ἱλαρῳδεῖν ποιητῶν, συνεχῶς ἡμῖν ἐπιφαίνονται. Καταλέγει δὲ ὁ Ἀριστοκλῆς καὶ τάσδε ἐν τῷ περὶ μουσικῆς γράφων ὧδε „ μαγῳδός· οὗτος δὲ ἐστὶν ὁ αὐτὸς τῷ λυσιῳδῷ." Ἀριστόξενος δὲ φησὶ τὸν μὲν ἀνδρεῖα καὶ γυναικεῖα πρόσωπα ὑποκρινόμενον μαγῳδὸν καλεῖσθαι, τὸν δὲ γυναικεῖα ἀνδρείοις λυσιῳδόν. τὰ αὐτὰ δὲ μέλη ᾄδουσι καὶ τἆλλα πάντα δ' ἐστὶν ὅμοια.

ὁ δὲ ἰωνικολόγος τὰ Σωτάδου καὶ τὰ πρὸ τούτου ἰωνικὰ καλούμενα ποιήματα, Ἀλεξάνδρου τε τοῦ Αἰτωλοῦ καὶ Πύρητος τοῦ Μιλησίου καὶ Ἀλέξου καὶ ἄλλων τοιούτων ποιητῶν προφέρεται.

καλεῖται δὲ οὗτος καὶ κιναιδολόγος.

ἤκμασε δὲ ἐν τῷ εἴδει τούτῳ Σωτάδης ὁ Μαρωνίτης, ὥς φησι Καρύστιος ὁ Περγαμηνὸς ἐν τῷ περὶ αὐτοῦ Σωτάδου συγγράμματι, καὶ ὁ τοῦ Σωτάδου υἱὸς Ἀπολλώνιος. ἔγραψε δὲ καὶ οὗτος περὶ τῶν τοῦ πατρὸς ποιημάτων σύγγραμμα.

ἐξ οὗ ἔστι κατιδεῖν τὴν ἄκαιρον παρρησίαν τοῦ Σωτάδου, κακῶς μὲν εἰπόντος Λυσίμαχον τὸν βασιλέα ἐν Ἀλεξανδρείᾳ, Πτολεμαῖον δὲ τὸν Φιλάδελφον παρὰ Λυσιμάχῳ, καὶ ἄλλους τῶν βασιλέων ἐν ἄλλαις τῶν πόλεων.

διόπερ τῆς δεούσης ἔτυχε τιμωρίας.

ἐκπλεύσαντα γὰρ αὐτὸν τῆς Ἀλεξανδρείας, ὥς φησιν Ἡγήσανδρος ἐν τοῖς ὑπομνήμασι, καὶ δοκοῦντα διαπεφευγέναι τὸν κίνδυνον (εἰρήκει γὰρ εἰς τὸν βασιλέα Πτολεμαῖον πολλὰ δεινά, ἀτὰρ καὶ τόδε, ὅτε τὴν ἀδελφὴν Ἀρσινόην ἐγεγαμήκει,
εἰς οὐχ ὁσίην τρυμαλιὴν τὸ κέντρον ὠθεῖς),
Πάτροκλος οὖν ὁ τοῦ Πτολεμαίου στρατηγὸς ἐν Καύνῳ τῇ νήσῳ λαβὼν αὐτὸν καὶ εἰς μολυβῆν κεραμίδα ἐμβαλὼν καὶ ἀναγαγὼν εἰς τὸ πέλαγος κατεπόντωσε.

(ἀκολουθεῖ)

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

τοιαύτη δ' ἐστὶν αὐτοῦ ἡ ποίησις. Θεοδώρου τοῦ αὐλητοῦ Φιλῖνος ἦν παῖς, εἰς ὃν ταῦτα ἔγραψε·

ὁ δ' ἀποσυλχάσας τὸ τρῆμα τῆς ὄπισθε λαύρης,
διὰ δενδροφόρου φάραγγος ἐξέωσε βροντὴν
ἠλέματον, ὁκοίην ἀροτῆρ χύτρῃ χαλᾷ βοῦς.

Απολλώνιος Σωτάδου Μαρωνίτης
Αι

όρα γ Σωτάδης εν παρούση συλλογή

Αθην. Δειπνο.
σφ. Βιβ. XIV.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

# Σωτάδης Μαρωνίτης

Σωτάδης δέ, οὐχ ὁ τῶν ἰωνικῶν ἀσμάτων ποιητὴς ὁ Μαρωνίτης, ἀλλ' ὁ τῆς μέσης κωμῳδίας ποιητὴς καὶ αὐτὸς … Ἀθην. Δειπνοσοφισταὶ Βιβ. VII XLI σελ. 69.

XIII. … ὁ δὲ ἰωνικολόγος τὰ Σωτάδου καὶ τὰ πρὸ τούτου ἰωνικὰ καλούμενα ποιήματα, Ἀλεξάνδρου τε τοῦ Αἰτωλοῦ, καὶ Πύρητος τοῦ Μιλησίου, καὶ Ἀλέξου καὶ ἄλλων τοιούτων ποιητῶν προφέρεται. καλεῖται δὲ οὗτος καὶ κιναιδολόγος. ἤκμασε δ' ἐν τῷ εἴδει τούτῳ Σωτάδης ὁ Μαρωνίτης, ὥς φησι Καρύστιος ὁ Περγαμηνὸς ἐν τῷ περὶ αὐτοῦ Σωτάδου συγγράμματι, καὶ ὁ τοῦ Σωτάδου υἱὸς Ἀπολλώνιος. ἔγραψε δὲ καὶ οὗτος περὶ τῶν τοῦ πατρὸς ποιημάτων σύγγραμμα· ἐξ οὗ ἔστι καθιδεῖν τὴν ἄκαιρον παρρησίαν τοῦ Σωτάδου, κακῶς μὲν εἰπόντος Λυσίμαχον τὸν βασιλέα ἐν Ἀλεξανδρείᾳ, Πτολεμαῖον δὲ τὸν Φιλάδελφον παρὰ Λυσιμάχῳ, καὶ ἄλλους τῶν βασιλέων ἐν ἄλλαις τῶν πόλεων. διόπερ τῆς δεούσης ἔτυχε τιμωρίας. ἐκπλεύσαντα γὰρ αὐτὸν τῆς Ἀλεξανδρείας, ὥς φησιν Ἡγήσανδρος ἐν τοῖς ὑπομνήμασι, καὶ δόξαντα διαπεφευγέναι τὸν κιν- Βιβ. XIV.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

## Σωτάδης

δυνον· ρήσας γαρ εις τον βασιλέα Πτολεμαίον πολλα δει-
να, αταρ και τόδε, ότε την αδελφην Αρσινόην εγεγα-
μήκει·

Εις ουχ οσίην τρυμαλιήν το κέντρον ώθεῖ. (1)

Πάτροκλος ουν ο του Πτολεμαίου στρατηγος εν Καύ-
νω τη νήσω λαβων αυτον, και εις μολυβην κεραμίδα
εμβαλων, και αναγαγων εις το πέλαγος, κατεπόντωσε."

(1) ωθεις edd. ώθει ms A.